Il Romanzo greco: non solo amore e avventura

1. Phot. *Bibl*, cod. 166 (Antonio Diogene, *Le incredibili avventure al di là di Tule* [**Τὰ ὑπὲρ Θούλην ἄπιστα**]), 109a13-15: Εἰσάγεται τοίνυν ὄνομα Δεινίας κατὰ ζήτησιν ἱστορίας [“per desiderio di conoscenza”] ἅμα τῷ παιδὶ Δημοχάρῃ ἀποπλανηθεὶς τῆς πατρίδος, κτλ.

2. Phot. *Bibl*, cod. 166 (Antonio Diogene), 111b,32-42: Ἔστι δ', ὡς ἔοικεν, οὗτος [Antonio Diogene] χρόνῳ πρεσβύτερος τῶν τὰ τοιαῦτα ἐσπουδακότων διαπλάσαι, οἷον Λουκιανοῦ, Λουκίου,Ἰαμβλίχου, Ἀχιλλέως Τατίου, Ἡλιοδώρου τε καὶ Δαμασκίου[1]. Καὶ γὰρ τοῦ περὶ ἀληθῶν διηγημάτων Λουκιανοῦ καὶ τοῦ περὶ μεταμορφώσεων Λουκίου πηγὴ καὶ ῥίζα ἔοικεν εἶναι τοῦτο.

[1] Damascio di Damasco (V-VI sec.), autore di *Mirabilia*. Fozio elenca tutti i ‘romanzieri’ da lui trattati fino a quel punto.

3.1. Phot. *Bibl*, cod. 87 (Achille Tazio, *Le avventure di Leucippe e Clitofonte*), 66a,14-16: Ἀνεγνώσθη Ἀλεξανδρέως Ἀχιλλέως Τατίου τῶν περὶ Λευκίππην καὶ Κλειτοφῶντα λόγοι η᾽. Ἔστι δὲ δραματικόν, ἔρωτάς τινας ἀτόπους ἐπεισάγον.

3.2. Achille Tazio, *Le avventure di Leucippe e Clitofonte*, I 3,3: ἤρχετο τοῦ δράματος ἡ Τύχη

4. Phot. *Bibl*,, cod. 166, (Antonio Diogene), 112a,7-12: Ἔστι δὲ ἐν αὐτοῖς καὶ μάλιστα, ὡς ἐν τηλικούτοις πλάσμασί τε καὶ μυθεύμασι,**δύο τινὰ θηράσαι χρησιμώτατα**· ἓν μὲν ὅτι **τὸν ἀδικήσαντά** τι, κἂν μυριάκις ἐκφυγεῖν δόξῃ, **εἰσάγει πάντως δίκην δεδωκέναι**, καὶ δεύτερον ὅτι **πολλοὺς ἀναιτίους**, ἐγγὺς μεγάλουγεγονότας κινδύνου, **παρ' ἐλπίδας δείκνυσι πολλάκις διασωθέντας.**

5. Caritone, *Le avventure di Cherea e Calliroe*, II 6, 1: οὐδὲ γὰρ τὴν Ἑλένην εὔμορφον οὕτως ὑπολαμβάνω γεγονέναι.

6. Caritone, VI 6, 4: ὦ κάλλος ἐπίβουλον, σύ μοι πάντων κακῶν αἴτιον.

7. Achille Tazio, V 27, 2-VI 1: ὡς οὖν με ἔλυσε [sogg. Melite] καὶ περιέβαλε κλαίουσα, ἔπαθόν τι ἀνθρώπινον καὶ ἀληθῶς ἐφοβήθην τὸν Ἔρωτα, μή μοι γένηται μήνιμα ἐκ τοῦ θεοῦ, καὶ ἄλλως ὅτι Λευκίππην ἀπειλήφειν, καὶ ὅτι μετὰ ταῦτα τῆς Μελίτης ἀπαλλάττεσθαι ἔμελλον, καὶ ὅτι οὐδὲ γάμος ἔτι τὸ πραττόμενον ἦν, ἀλλὰ **φάρμακον ὥσπερ ψυχῆς νοσούσης**. περιβαλλούσης οὖν ἠνειχόμην καὶ περιπλεκομένης πρὸς τὰς περιπλοκὰς οὐκ ἀντέλεγον· [...] Ἐπεὶ οὖν τὴν Μελίτην ἰασάμην, λέγω πρὸς αὐτήν· ...
– Vedi anche Longo, *Le pastorali*, III 17-19 (iniziazione di Dafni da parte di Licenio) e ancora Ach. Tat. IV 1, 4-7.

8. Achille Tazio, I 10,6: κἂν μὲν προσῇ τις συνθήκη τῆς πράξεως, πολλάκις δὲ καὶ ἑκοῦσαι πρὸς τὸ ἔργον ἐρχόμεναι θέλουσι βιάζεσθαι δοκεῖν, ἵνα τῇ δόξῃ τῆς ἀνάγκης ἀποτρέπωνται τῆς αἰσχύνης τὸ ἑκούσιον.

9. Achille Tazio, II 37, 5-10 (particolareggiata descrizione di un amplesso, dove Achille Tazio illustra con grande realismo il *crescendo* di sensazioni e piaceri provati nell’atto sessuale).

10. Phot. *Bibl.*, cod. 94 (Giamblico, *Babyloniakà*), 77a,20-23: Διάληψις περὶ Βερενίκης, ἥτις ἦν θυγάτηρ τοῦ βασιλέως Αἰγυπτίων, καὶ τῶν ἀγρίων αὐτῆς καὶ ἐκθέσμων ἐρώτων· καὶ ὅπως Μεσοποταμίᾳ τε συνεγίνετο, κτλ.

11. Phot. *Bibl*,, cod. 94 (Giamblico), 76b,32-36: Καὶ καταίρουσιν εἰς πλουσίου τινός, τὸ ἦθος δὲ ἀκολάστου. Σήταπος αὐτῷ ὄνομα, ὃς ἐρᾷ τῆς Σινωνίδος καὶ πειρᾷ. Ἡ **δὲ ἀντεραῖν ὑποκρίνεται [**Sinonide è fredda e scaltra] καὶ μεθυσθέντα τὸν Σήταπον **κατ' αὐτὴν τὴν νύκτα καὶ τὴν ἀρχὴν τοῦ ἔρωτος** [“durante gli approcci”] **ἀναιρεῖ ξίφει.**

12. Ach. Tat. 1 3,4: ὄναρ ἐδόκουν συμφῦναι τῇ παρθένῳ τὰ κάτω μέρη μέχρις ὀμφαλοῦ, δύο δὲ ἐντεῦθεν τὰ ἄνω σώματα. **ἐφίσταται δή μοι γυνὴ φοβερὰ** καὶ μεγάλη, τὸ πρόσωπον ἀγρία· **ὀφθαλμὸς ἐν αἵματι, βλοσυραὶ παρειαί, ὄφεις αἱ κόμαι.** ἅρπην ἐκράτει τῇ δεξιᾷ, δᾷδα τῇ λαιᾷ. ἐπιπεσοῦσα οὖν μοι θυμῷ καὶ ἀνατείνασα **τὴν ἅρπην καταφέρει τῆς ἰξύος, ἔνθα τῶν δύο σωμάτων ἦσαν αἱ συμβολαὶ καὶ ἀποκόπτει μου τὴν παρθένον**. **περιδεὴς οὖν ἀναθορὼν ἐκ τοῦ δείματος** φράζω μὲν πρὸς οὐδένα [...]

13.1. Ach. Tat. III 17, 7: ὁ δὲ [Menelao] ἤνοιγεν ἅμα τὴν σορὸν καὶ ἡ Λευκίππη κάτωθεν ἀνέβαινε, **φοβερὸν θέαμα, ὦ θεοί, καὶ φρικωδέστατον. ἀνέῳκτο μὲν αὐτῆς ἡ γαστὴρ πᾶσα καὶ ἦν ἐντέρων κενή**· ἐπιπεσοῦσα δέ μοι περιπλέκεται καὶ συνέφυμεν καὶ ἄμφω κατεπέσομεν.
13.2. Ach. Tat. III 20, 7: τούτῳ δ' ἄρα [...] ὁ κακοδαίμων ἐκεῖνος ἐν τοῖς θεάτροις ἐχρῆτο πρὸς τὰς κιβδήλους σφαγάς. Finta uccisione di Leucippe con una spada dalla lama rientrante, usata negli spettacoli teatrali

14. Eliodoro, *Etiopiche*, I 1, 3: Ὁ δὲ αἰγιαλός, μεστὰ πάντα σωμάτων νεοσφαγῶν, τῶν μὲν ἄρδην ἀπολωλότων, τῶν δὲ ἡμιθνήτων καὶ μέρεσι τῶν σωμάτων ἔτι σπαιρόντων, ἄρτι πεπαῦσθαι τὸν πόλεμον κατηγορούντων.

15. Senofonte Efesio, *Efesiache*, V 1, 9: Καὶ τέθνηκεν ἐνταῦθα οὐ πρὸ πολλοῦ Θελξινόη καὶ τὸ σῶμα οὐ τέθαπται, ἀλλὰ ἔχω γὰρ μετ' ἐμαυτοῦ καὶ ἀεὶ φιλῶ καὶ σύνειμι.

16. Lolliano, *Srorie fenicie* (*Phoinikikà*), P. Colon. Inv. 3328, B. 1 recto, ll. 9-13: «Intanto si fece avanti un altro, tutto nudo tranne per una fascia rossa intorno ai fianchi: afferrò il corpo del ragazzo sacrificato, lo girò sulla schiena e gli squarciò il torace. Tirò fuori il cuore e lo mise sul fuoco; quando fu cotto, lo prese, lo aprì in due, lo affettò; cosparse le fette di farina, le tuffò nell’olio e, dopo averle così preparate, le distribuì agli iniziati» (Trad. G. Zanetto).

17. *Iolao*, P. Oxy. 3010, l. 30: ὅτι σὺ **βινεῖν** μέλλεις.
Per βινεῖν – verbo volgare proprio della Commedia per indicare l’atto sessuale – vedi, ad es., Aristofane, *Rane* 740.

18. Phot. *Bibl.*, cod. 87 (Achille Tazio), 66a,14-28: Ἀνεγνώσθη Ἀλεξανδρέως Ἀχιλλέως Τατίου τῶν περὶ Λευκίππην καὶ Κλειτοφῶντα λόγοι η᾽. Ἔστι δὲ δραματικόν, ἔρωτάς τινας ἀτόπους ἐπεισάγον. Ἀλλὰ τό γε λίαν ὑπέραισχρον καὶ ἀκάθαρτον τῶν ἐννοιῶν καὶ τὴν τοῦ γεγραφότος φαυλίζει καὶ γνώμην ἐν πᾶσι καὶ σπουδήν, καὶ τοῖς ἀναγινώσκειν ἐθέλουσικατάπτυστον τὴν ἀνάγνωσιν ποιεῖται καὶ φευκτήν. [Valutazione del romanzo di Achille Tazio da parte di Fozio]

Per una riflessione

Il Romanzo greco si può leggere anche come una **dialettica dell’esistenza**, tra microcosmo familiare (rassicurante) e macrocosmo (pieno di pericoli): tale dialettica non risparmia nessuno, perché anche persone di elevata condizione sociale non sfuggono alle insidie del mondo, anzi ne vengono anch’esse travolte.